βολῶν· ὡς καὶ παρεμβάλλουσιν, οὕτως καὶ ἐξαροῦσιν ἕκαστος ἐχό-
μενος καθ᾽ ἡγεμονίαν.
18 [18] Τάγμα παρεμβολῆς Εφραιμ παρὰ θάλασσαν σὺν δυνάμει αὐ-
19 τῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Εφραιμ Ελισαμα υἱὸς Εμιουδ· [19] δύνα-
μις αὐτοῦ οἱ ἐπεσκεμμένοι τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι.
20 [20] καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Μανασση, καὶ ὁ ἄρχων
21 τῶν υἱῶν Μανασση Γαμαλιηλ υἱὸς Φαδασσουρ· [21] δύναμις αὐτοῦ
22 οἱ ἐπεσκεμμένοι δύο καὶ τριάκοντα χιλιάδες καὶ διακόσιοι. [22] καὶ
οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Βενιαμιν, καὶ ὁ ἄρχων τῶν
23 υἱῶν Βενιαμιν Αβιδαν υἱὸς Γαδεωνι· [23] δύναμις αὐτοῦ οἱ ἐπεσκεμ-
24 μένοι πέντε καὶ τριάκοντα χιλιάδες καὶ τετρακόσιοι. [24] πάντες οἱ
ἐπεσκεμμένοι τῆς παρεμβολῆς Εφραιμ ἑκατὸν χιλιάδες καὶ ὀκτα-
κισχίλιοι καὶ ἑκατὸν σὺν δυνάμει αὐτῶν· τρίτοι ἐξαροῦσιν.
25 [25] Τάγμα παρεμβολῆς Δαν πρὸς βορρᾶν σὺν δυνάμει αὐτῶν, καὶ
26 ὁ ἄρχων τῶν υἱῶν Δαν Αχιεζερ υἱὸς Αμισαδαι· [26] δύναμις αὐτοῦ
27 οἱ ἐπεσκεμμένοι δύο καὶ ἑξήκοντα χιλιάδες καὶ ἑπτακόσιοι. [27] καὶ
οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλῆς Ασηρ, καὶ ὁ ἄρχων τῶν
28 υἱῶν Ασηρ Φαγαιηλ υἱὸς Εχραν· [28] δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι
29 μία καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. [29] καὶ οἱ παρεμ-
βάλλοντες ἐχόμενοι φυλῆς Νεφθαλι, καὶ ὁ ἄρχων τῶν υἱῶν Νε-
30 φθαλι Αχιρε υἱὸς Αιναν· [30] δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι τρεῖς
31 καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. [31] πάντες οἱ ἐπεσκεμμένοι
τῆς παρεμβολῆς Δαν ἑκατὸν καὶ πεντήκοντα ἑπτὰ χιλιάδες καὶ
ἑξακόσιοι· ἔσχατοι ἐξαροῦσιν κατὰ τάγμα αὐτῶν.
32 [32] Αὕτη ἡ ἐπίσκεψις τῶν υἱῶν Ισραηλ κατ᾽ οἴκους πατριῶν αὐ-
τῶν· πᾶσα ἡ ἐπίσκεψις τῶν παρεμβολῶν σὺν ταῖς δυνάμεσιν αὐ-
33 τῶν ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι πεντακόσιοι πεντήκοντα. [33] οἱ
δὲ Λευῖται οὐ συνεπεσκέπησαν ἐν αὐτοῖς, καθὰ ἐνετείλατο κύριος
34 τῷ Μωυσῇ. [34] καὶ ἐποίησαν οἱ υἱοὶ Ισραηλ πάντα, ὅσα συνέταξεν
κύριος τῷ Μωυσῇ, οὕτως παρενέβαλον κατὰ τάγμα αὐτῶν καὶ
οὕτως ἐξῆρον, ἕκαστος ἐχόμενοι κατὰ δήμους αὐτῶν κατ᾽ οἴκους
πατριῶν αὐτῶν.
3 [1] Καὶ αὗται αἱ γενέσεις Ααρων καὶ Μωυσῆ ἐν ᾗ ἡμέρᾳ ἐλάλησεν
2 κύριος τῷ Μωυσῇ ἐν ὄρει Σινα, [2] καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν

17 και 3° > A | καθ ηγεμ.] κατα ταγμα αυτων A || 18 παρα] κατα A | υιος > B*† || 21 διακοσιοι] τετρακοσ. B*†, τριακοσ. A*(uid.): cf. 1 33 || 25 αμισαδαι] pr. σ A hic, non in 1 12 7 66.71 nec in 10 25 (μισαδαι) || 26 επτακοσιοι] πεντακ. B† hic, non in 1 39 || 29 νεφθαλειμ 1° A^r, 2° A | νεφθ. 1° ⌒ 2° B*(uid.) | αιμαν A† hic, non in 1 15 7 78.83 10 27 || 31 εκατον — επτα] επτα και πεντηκοντα και εκατον A: cf. 16 | εξακοσιοι] + συν δυναμει αυτων A || 32 πεντακοσιοι et πεντηκοντα] pr. και A || 33 εν > A || 34 παντα οσα συνετ.] καθα ενετειλατο A

3 1 ορει] pr. τω A